λαγῆναι τῆς ζωῆς εἵλετο. Αμέλει καὶ τὸ φάρμακον ἐγχέας, καὶ ἄκροις τὴν κύλικα δακτύλοις λαβὼν, ἐπείπερ ἡ ψυχὴ αὐτῷ ἐ προσίετο, ἀλλὰ καὶ σφόδρα εἶχε περιδεῶς, καὶ συνεχὲς ἔνδον ἡ καρδία ἐπάτασσε, τέλος τὴν συνήθη Χριστιανοῖς τοῦ σαυροῦ σφραγίδα τῷ φαρμάκῳ διατυπώσας, καὶ καταμύσας εὐθὺς καὶ πιὼν (ὦ τῆς μεγάλης καὶ θαυμαστῆς σου Χριστὲ δυνάμεως) ἀπαθὴς ἔμενε, τοῦ σαυροῦ τὴν τοῦ φαρμάκου δύναμιν ἀνελόντος. Ως δὲ τῇ ὁμοίᾳ καὶ αὖθις ἀνάγκῃ συνείχετο, καὶ τοῖς αὐτοῖς δανεισαῖς ἐπολιορκεῖτο, τὴν τε ψυχὴν ἐδὲν ἧττον εἶχε τῇ προτέρᾳ πιεζομένην ἐνδείᾳ, καὶ ἀπαλλαγὴν μὲν ἐκ παντὸς τρόπου τῶν παρόντων ἐπιζητοῦσαν, ὀκλάζουσαν δὲ πρὸς δεύτερον φάρμακον, καὶ πρὸς τὸν θάνατον ἀναδυομένην, ἀλλὰ τὸ μὴ τῶν ἐν χερσὶ δυσχερῶν ἐλευθερωθῆναι, βαρύτερον εἶναι κακὸν καὶ αὐτὸ πάλιν θανάτου κρίνας, πρόσεισι τῷ γόητι. Καὶ αὖθις ἐκεῖνον καὶ ἄλλο πάλιν αἰτεῖ φάρμακον, κακῷ τὸ κακὸν ἰώμενος, οἷα τοῦ προλαβόντος ἐδὲν

mam intuebatur, venenum respuit: quoties verò circumstantem undique calamitatē, & animæ paulò altiùs insidentem curā, mori percupiit. Cessit igitur tandem necessitati victus, illud in optimis ducens, ut præsenti miseriæ cum vita finem imponeret. Quare infuso veneno, calicē extremis iam digitis contrectans, cum timibunda refugeret anima, & cor subinde palpitaret interiùs, cruce nobis Christianis quàm familiari, potionem signavit. Statimq́ue occlusis bibens oculis (quæ tua magna est ac miranda Christe potentia) inconcussus stetit, hac illius vim perimente. Sed verò ubi eædem rediere angustiæ, & iidem adhuc creditores obsedere miserum, & eadem penuria nihilo seciùs afflixit, pertæsus sui, remedium petiit undecunque. Et quia, etiamsi mortis paventior ad secundam potionem exhorresceret, tot tamen malis non eximi, malum ipsa morte gravius iudicavit, secundò petit venefi-

πρὸς τὴν χρείαν ὀνήσαντος, ἅτε τῆς φύ-
σεως αὐτοῦ περιγινομένης. Ταύτην γὰρ
ἐμποδὼν γενέσθαι τῇ τοῦ φαρμάκου ἐνερ-
γείᾳ ὁ μάταιος ἔλεγε, μὴ συνιεὶς, ὅτι
σταυρὸς ἦν κἀνταῦθα τὸν θάνατον ἀ-
ναιρῶν, ὃ καὶ πολλῷ τούτου δυνατώτερον,
ὄφιν καθελὼν πρότερον. Ο γόης τοί-
νυν ἐκεῖνος, καὶ φαρμακὸς ἄνθρω-
πος, τοῦ φαρμάκου καὶ αὐτὸς ἀσθέ-
νειαν καταγνοὺς, δεύτερον ὀρέγει τούτῳ
τοῦ προτέρου πολλῷ δραστικώτερον. Ως
δὲ καὶ πάλιν ὅικοι γενόμενος, καὶ
πίνειν αὐτὸ μέλλων, τῷ προτέρῳ δέ-
ει, καὶ τῇ ἀγωνίᾳ, καὶ ταῖς διπ-
λαῖς ἐκείναις φροντίσιν ἐπάλαιε, καὶ
ἱδρῶτι πανταχόθεν περιεῤῥεῖτο, καὶ ὑ-
πότρομος ἦν, εἶτα καὶ τῇ τοῦ σταυ-
ροῦ σφραγῖδι συνήθως ἐπισφραγίσας τὴν
κύλικα, καὶ πιὼν, κακοῦ ἀπαθὴς ἦν
ἔτι, ἐξεπλήττετο μὲν καὶ αὐτὸς,
συμβαλεῖν τὴν αἰτίαν οὐκ ἔχων, καὶ
δεινῶς τοῖς τῆς ἀμηχανίας κέντροις
ἐβάλλετο. Ουδὲ πω γὰρ συνιδεῖν εἶ-
χεν, ὡς ἡ τοῦ σταυροῦ ἐνέργεια ἦν, ἡ
ἀποσβεννῦσα τοῦ φαρμάκου τὴν δύνα-
μιν, ἄνθρωπος τῷ τῆς ἀθυμίας πολλο-

cum. Rogat, perpulchrè unò aliud incommodum sanaturus, aliud ut sibi pharmacum præbeat: superius enim illud naturæ suæ impar, nequicquam profuisse. Ita parum dextrè vim veneni retusam obtusus homuncio interpretatur; ignorans scilicet crucem mortis aculeum fregisse, potentiam enecâsse, quæ potentiorem ea diabolum sustulerat priùs. Nec vero solus erravit, erravit iuxtà præstigiator: qui illius alterius debilitate incusata, secundum iam præbet valentius multò. Accepto iste rursum ad ædes suas convolat: ubi sumpturus antiquo cum pavore, & geminis illis curis luctatur; totus sudore manat, totus contremiscit. Sed cùm cruce, suo more, poculum signâsset, bibensque denuo illæsus perstitisset, obstupuit vehementer, iam planè inops consilii, & causæ omnino coniectandę nescius. Non enim adhuc pervidere potuit huius, illius energiam extinguentem, homo mœrorum & calamitatũ

γει, καὶ τῷ τῶν συμφορῶν βαπτιζόμε-
νος, καὶ μηδὲ ἀνανῆψαι μικρὸν, μη-
δὲ τῶν ἐν ποσὶν αἰσθέσθαι δυνάμενος.
Ενθεν τοι καὶ παρὰ τὸν Εβραῖον ἄπεισι
καὶ αὖθις, καὶ τὰ αὐτὰ τοῖς προτέροις
ἀπαγγέλλει. Τοῦ δὲ καὶ αὐτοῦ καταπλα-
γέντος, καὶ πολὺν χρόνον ἐπὶ τῷ πράγμα-
τι διαπορουμένου, εἶτα καὶ τινὰ φωρᾶσαι ζη-
τοῦντος αἰτίαν, δι' ἣν οὗτος ἀστοιχαίη τὸ φάρ-
μακον (γόης γὰρ ἐκεῖνος, καὶ τὰ τοιαῦτα τε-
χνίτης) ὅπως τε, καὶ τίνα τρόπον εἰς τὴν
οἰκίαν ἐπανιὼν, τοῦ φαρμάκου μεταλαμ-
βάνοι, κατὰ μέρος ἕκαστα διεπυνθάνετο.
Ὡς δὲ οὐδὲν πλέον οὗτος εἰς τὴν οἰκίαν ἀφικ-
νούμενος, πράττοιμι (ἔφη) πλὴν ὅτι δὴ τῇ
κύλικι ἐγχέας τὸ φάρμακον, εἶτα καὶ μι-
κρὰ ὀκλάσας, καὶ ἀγωνίᾳ τὴν καρδίαν δι-
ασεισθεὶς, τῷ τοῦ σταυροῦ σημείῳ (οἷα δὴ
συνήθως Χριστιανοῖς φιλεῖ γίνεσθαι) διὰ
τὴν δειλίαν τὴν κύλικα σφραγισάμε-
νος, καὶ μύσας τοὺς ὀφθαλμοὺς τοῦ-
το πίνοιμι. Ὡς μόνον σταυροῦ κλῆσιν
ἐνταῦθα ὁ Εβραῖος ἀκούσειε, συνῆκεν
εὐθὺς ὅπερ ἦν, τὸν σταυρὸν εἶναι τὸν ἀ-
ναιροῦντα τοῦ φαρμάκου δύναμιν. Ἵνα δὲ
μὴ ψιλὴ τὸ πρᾶγμα μόνον ὑπόληψις

pelago immersus, nec vel tantisper ad se rediens quæ coram erant, comprehendere. Quocirca venesicum petit tertiò, eademq; renuntiat prioribus. Ille attonitus, & aliquamdiu hæsitans, causę tamen alicuius explorandæ (utpote incantationum artifex) cupidior, quam rationem, & quas in sumendo pharmaco circumstantias adhibuisset, sigillatim singulas percunctatur. Subjicit Christianus: Vbi domum me recepi, misso in calicem veneno, incipit mihi animus paulatim deficere, & cor subinde pavibundum quassari. Statimq; calicem (ut in timore abigendo solemus Christiani) signatum cruce occlusis dein oculis exhaurio. Audita crucis mentione subolfecit illicò Iudæus, quid eousq; veneni efficaciam sustulisset. Et ne nuda res coniectura videretur, ad fidem faciendam aliquo experimento opus censuit. Expertus igitur in quodam è suis cane, confestim vidit peremisse

ἢ, καὶ πίστεως δεῖται τινός. Καὶ τινὶ τῶν κυνῶν ἐκείνου μεταδοὺς τοῦ φαρμάκου, τοῦτον μὲν ἀναιρεῖ αὐτίκα. Ὁ δὲ Ἑβραῖος μηκέτι πλειόνων δεηθεὶς ἀποδείξεων, τὴν πάτριον ἐξομοσάμενος αἵρεσιν, τῇ ἀληθείᾳ προστίθεται. Καὶ τοῦτο πρῶτον ἀναιρεῖ τὴν ἀπάτην, καὶ φάρμακον ὡς ἀληθῶς γίνεται τῷ κεχρημένῳ, τρόπον ἕτερον, τῆς προτέρας ἐκείνου γοητείας φανὲν δηλητήριον, τεκμήριον τῆς μεταβολῆς ἱκανόν. Πρόσεισι τῷ τοῦ Χριστοῦ μαθητῇ, τῷ τῶν πλανωμένων ὁδηγῷ. Τῇ πολυφθόγγῳ τοῦ πνεύματος σάλπιγγι, καταμηνύει τὴν ἐπιβουλήν, ἐλέγχει τὴν ἄνοιαν, δημοσιεύει τὸ πονηρὸν ἐκεῖνο μυστήριον, θριαμβεύει τὴν τῆς προτέρας ἀπάτης ἀσθένειαν. Ὁ δὲ καὶ δέχεται προσιόντα, καὶ τὴν μετάνοιαν ἐπαινεῖ, καὶ παραινέσεσιν αὐτόν, καὶ συμβουλαῖς ἀσφαλίζεται. Εἶτα καὶ ἀναγεννᾷ διὰ τοῦ βαπτίσματος, καὶ τῷ τῶν ὅλων οἰκειοῦται δεσπότῃ. Ἀλλὰ μὲν οὐδὲ τὸν τῷ Ἑβραίῳ τῆς μεταβολῆς αἴτιον, ὁ τῆς κοινῆς οἰκονόμος σωτηρίας, οὕτω κακῶς ἔχοντα περιεῖδεν. Ἀλλὰ τὴν αἰτί-

Nec plures ille moratur demonſtrationes. Viſa hac una patrium cultum eiuravit, in noſtrum verumque tranſijt. Ita verè fuit hoc pharmacum, prioris impoſturæ pharmacum, incantationis remedium, & ſubſequentis ſimul mutationis inſigne ſpecimen. Exinde Chriſti diſcipulum palantium ducem aggreditur. Cui multiſona ſpiritus tuba ſtructas ſibi non ita pridem narrat inſidias, arguit dementiam, impium veneficii evulgat myſterium, & in aviti deniq; erroris imbecillitatem triumphando invehitur. Iohannes venientem excepit candidè, laudataque eius pœnitentia, præceptionibus inſuper piiſsimis obmunit. Et tandem baptiſmi latice regenitum, univerſi huius domino conciliavit. Sed neq; mutationis autorem Iudæo, communis ille ſalutis œconomus, ita malè habentem, neglectum ire patiebatur. Verùm cauſa cognita, quampropter ſua ſponte ceſsiſſet vita,

αν μαθὼν, ἥτις αὐτὸν εἰς τοῦτο κινδύνου ἤγαγε, καὶ δι' ἣν ἑκὼν καὶ αὐτῆς ἀποστερηθῆναι τῆς ζωῆς ἔμελλε, πατρικαῖς τε αὐτὸν ὁμιλίαις ἀναλαμβάνει, καὶ καταπεσοῦσαν ἤδη τὴν ἐκείνου ψυχὴν ἀνορθοῖ, καὶ τὴν ἀθυμίαν ἐκβάλλει, καὶ τὴν ἀπόγνωσιν. Εἶτα καὶ τὴν διὰ τῶν ἔργων ἐπάγει παράκλησιν, ἐργάσασθαι καὶ τοῦτο δυνατὸς ὤν. Ἐπειδὴ γὰρ τῇ τε τῶν χρεῶν ἀπαιτήσει, καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ πιεζόμενον αὐτὸν εἶδε, καὶ διὰ τοῦτο καὶ αὐτὴν ἀθλίως καταπροϊέμενον τὴν ζωὴν, τί ποιεῖ; Καὶ σκοπεῖτέ μοι ἐντεῦθεν, ὁποίων ἐκεῖνος τῶν χαρισμάτων ἠξίωτο. Ὅπερ γὰρ μὲν αὐτοῦ πρότερον ὁ Πέτρος τὸ ἱερὸν εἰσιὼν, κατὰ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην (ἥ φησιν ὁ Λουκᾶς) ἐπὶ τοῦ καθημένου παρὰ τῇ ὡραίᾳ πύλῃ χωλοῦ, καὶ ἐλεημοσύνην αἰτοῦντος, εἰργάσατο, ἀργύριον, ἢ χρυσίον, εἰπὼν, οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω τοῦτο δοὺς, καὶ τοὺς πόδας αὐτοῦ ὑγιώσας, τοῦτο δῆτα ποιεῖ καὶ οὗτος ἐνταῦθα. Εἰδὼς γὰρ, ὡς οὐδὲν οὔτ' ἀργυρίου αὐτῷ, οὔτε χρυσίου παρείησιν, ἵν' ἐντεῦθεν τὴν ἐκείνου

tûm paterno hominem refovit colloquio, tûm moerore simul & desperatione pulsis, labentem ei animam erexit. Et ne verbo tantùm mulcere videretur, operum unà solamen adhibuit. Siquidem non erat nescius penuria mutuoq́ue toties exacto ad vitæ etiam fastidium laborâsse. Vt igitur duplici involutum miseria tanta præsertim expediret, quid demum agit? Et exhinc cogitate vos mecum quibus ille gratiis, quàm cumulatè instructus fuerit. Refert Lucas Petrum hora orationis nona intrâsse templum, ibiq; stipem mendicanti claudo occurrisse. Cui negantem habuisse auri se quicquam vel argenti, dedisse tamen quod penes se, pedum sanitatem. Illud iam antè Petrus in templo, idem & hîc Iohannes prę̈stitit. Videns enim auro & argento destitutum, unde suæ inopiæ leniret exigentiam, quantum è vicino graminis utraq; manu potuit, iussit prehendere. Eo causam & intentionem ig-

τῆς ἀπορίας ἀνάγκην παραμυθήσαιτο, τοῦ παρακειμένου πλησίον χόρτου, ὅσον ἀμφοτέραις περιλαβεῖν δυνατὸν, καταχεῖν ἐκέλευε τῷ ἀνθρώπῳ. Τοῦ δὲ τὴν αἰτίαν τὲ ἥτις εἴη, καὶ ὅτι ποτὲ τῷ ἀποστόλῳ τὸ πρᾶγμα βούλεται, ἀγνοοῦντος, καὶ χόρτον ὅσαις ἐξικνεῖτο παλάμαις, περιλαβόντος, εὐχῇ μόνον ἐκεῖνος, καὶ τύπῳ σταυροῦ, τοῦτον ἀμείβει. Καὶ χρυσὸν αὐτίκα τὸν συλληφθέντα χόρτον δεικνύει, καὶ χρυσὸν καθαρώτατον. Καὶ τοῦτον ἀνελέσθαι τε εὐθέως ἐκέλευε, καὶ ὁμοῦ μὲν τὴν ἐκ τῆς παρούσης ἀμηχανίαν ἐνδείας διαλῦσαι, ὁμοῦ δὲ τὰ χρέα ἐκτῖσαι, καὶ ἀφορμὰς ἐντεῦθεν τοῦ λοιποῦ βίου συναγαγεῖν, καὶ ἀποδοῦναι Θεῷ τὰ εὐχαριστήρια. Τι τοίνυν γένοιτ᾽ ἂν τούτου τοῦ θαύματος ἴσον; Ἐν μὲν γὰρ τῇ τοῦ ἱεροῦ εἰσόδῳ τάχα τὶ καὶ αὐτὸς τῷ Πέτρῳ συνέλαβε, καὶ δαψιλοτέραν ἀμφότεροι τοῦ πνεύματος ἐκάλεσαν τὴν ἐνέργειαν. Ἐνταῦθα δὲ μόνην ἐστὶν ἰδεῖν Ἰωάννου ἰσχὺν, καὶ ὅσην πρὸς Θεὸν οὗτος ἐπλούτει τὴν οἰκείωσιν. Ἀλλὰ ταῦτα μὲν ἔτι περὶ γῆν στρεφόμενος ἐπεδείκνυτο, τὴν ἀπάτην ἀπελαύνων,

norante, parente tamen, Apostolus vi precum, & imagine crucis superinducta mutavit. Mutatum ubi ceperat in manus, ecce dimensum graminis dimensum auri, & quidem purissimi. Statimq; egeno aurum tollere permisit, simul præcipiens, ante omnia numini faventi esset gratissimus: et partem eius suæ inopiæ levandæ daret, partem solvendis debitis, partem futuri status subsidio, & firmamento. Et quid tanti huius miraculi æquare poterit excellentiam? Siquidem in templi porta, hic noster adiuvit Petrum, & uterque uberiorem spiritus invocavit potentiam. Hîc autem unius Iohannis videre est potentiam, Deiq; æmulam affinitatem. Cæterùm quæ hactenus percensui de errore profligando, de serenda prædicatione pietatis, de vera, sicubi concidisset, doctrina renovanda, vivus adhuc & in terris hærens fecit omnia. Qui dum omnes, quantum in se erat, Deo cōciliavit, cœlum habuisse vide-

πελαγῶν, καὶ τὸ τῆς εὐσεβείας κήρυγμα κατασπείρων, καὶ ἀνακαλούμενος τὴν ἀλήθειαν. Επειδὴ δὲ πάντας (τό γε αὐτοῦ μέρος) Θεῷ παρεστήσατο, προσκήνιον μετὰ τὸν οὐρανὸν, θέατρον δὲ τὴν οἰκουμένην, καὶ τοὺς ἀγγέλους θεατὰς ποιησάμενος, τὴν ἐκείνου τῆς ἀρετῆς ὥραν ἐκπληττομένους, καὶ σύνεσιν (ἐπιθυμητὰ γὰρ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολὺν, καὶ γλυκώτερα ὑπὲρ μέλι, καὶ κηρίον, τὰ θεῖα τῆς διδασκαλίας αὐτοῦ λόγια) ἐξῆλθε τοῦ ἄστεος, δίκελλαν ἐπιφέρεσθαι, καὶ σκαφίον τοῖς μαθηταῖς ἐντειλάμενος. Καὶ πρός τι ὄρος εὐθὺς ἀνελθὼν (ἔνθα νῦν ὁ τούτου ναὸς ἵδρυται, πρός τε κάλλος, καὶ μέγεθος εὖ ἔχων) καὶ στὰς ἐν τούτῳ, ἐνταῦθά μοι, ἔφη, παῖδες ὀρύξατε. Ειτα ὅλον ἑαυτὸν σφραγισάμενος, καὶ σὺ μετ᾽ ἐμοῦ εἴης κύριε Ιησοῦ Χριστὲ, εἰρηκὼς, καὶ τοῖς παρεστῶσιν (εἰρήνη ὑμῖν ἀδελφοὶ) ἐπειπὼν, τῷ βόθρῳ καθῆκε τὸν τρίβωνα, τῷ δὲ καὶ αὐτὸς ἐπικατεκλίθη. Καὶ μέσην κατέσχε τὴν Ασίαν τῷ σώματι, ἔνθα οἱ τῆς Ελληνικῆς ἐφιλοσόφουν συμμορίας, τὸ πρότερον. Οἱ δὲ μαθηταὶ τὰς κόμας

batur proscenium; mundum, theatrũ; spectatores, Angelos; stupentes illos venustissimam virtutem, singularem intellectum. Fuere enim præ auro multoq; lapide pretioso expetenda, necnon melle ipso, & favo melleo suaviora, divina præceptionum eius oracula. Post tot demum labores tàm piè exantlatos, è vita migraturus, migravit è civitate, mandato priùs discipulis, ut unum secum, aut alterum ligonem afferrent. Nec moratus montem quendam conscendit, (ubi hodie basilica eius pulchritudine simul & magnitudine visenda erigitur,) & in eo subsistens; Hîc (inquit) mihi fodite pueri. Dein cùm se totum signâsset, sibiq; fuisset Dominum Iesum Christum, fratribus, qui iuxtà erant, pacem adprecatus, lacerna in foveam demissa, ipse etiam insuper recubuit. Et quidem suo corpore Asiæ umbilicum tenuit, ubi philosophiæ Græcanicæ sectatores paulò antè docuerunt. Discipuli autem eius convulsis comis,

ἐσπαράσσοντο, τὰς παρειὰς ἐκόπτοντο, τὴν ὀρφανίαν ἐλεεινῶς ἀπωδύροντο, τὸν ποιμένα, τὸν κηδεμόνα, τὸν σωτῆρα, τὸν τὰ πάντα πᾶσιν ἐπιβοώμενοι. Εἶτα καὶ κατὰ τὴν πόλιν γινόμενοι, τὸ πραχθὲν τοῖς ἐν τῇ πόλει διασαφοῦσιν. Ἄρτι δὲ ἡμέρας ὑποφαινούσης, συντρέχουσι πρὸς τὸν τάφον, εἰ ὁ διδάσκαλος ἔτι διαζῇ, μαθεῖν θέλοντες. Καὶ τὸ μὲν ποίμνιον παρεσήκασιν, ὁ δὲ ποιμὴν οὐδαμοῦ. Αἱ κρηπῖδες κείμεναι μόναι, καὶ ὁ ταύτας ἀποβαλὼν, ἀφανής. Φοιτῶσιν ὧδε καὶ ὧδε κατὰ τοὺς περὶ τὸν Ἐλαιῶνα, διερευνῶσιν ἴχνεσι, καὶ ἀνήνυτα τὰ τοῦ καμάτου αὐτοῖς. Εἶτα τοῦ, εἰ βούλομαι τοῦτον μένειν ἕως ἔρχομαι, τί πρὸς σε; μόλις ἐπιμνησθέντες, πρὸς τὸ εὐθυμότερον μεταβάλλουσι. Καὶ ὁ μὲν τῷ Ἐνὼχ καὶ τῷ Ἠλίᾳ τῷ Θισβίτῃ συναγαλλάζεται. Οἱ δὲ τῶν θρήνων ἀφέμενοι, τὸν ἐπὶ πάντων ὕμνουν Θεὸν, οὕτω τὸν αὐτοῦ ἀγαπητὸν μεγαλύναντα. Κατὰ γοῦν τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ ταῦτα ἐγένετο, πανήγυρις ἐκ παντὸς γένους, καὶ ἡλικίας ἁπάσης τῷ θεολόγῳ, κατὰ τὴν Ἔφεσον, τελεῖται καμ-

pulsatis genis orbitatem suam intensissimè lugebant, nunc pastorem, nunc tutorem, nunc servatorem, nunc omnia omnibus inclamantes. Finito luctu, ad urbem reversi civibus, quæ facta sunt, singula renuntiant. Illi verò appetente die ad monumentum, an adhuc in vivis esset magister, scituri, convolant. Et grex iam præstò fuit, pastor autem nullibi: solas invenêre iacentes crepidas, qui exuit, Apostolum non invenêre. Quare hâc illâc, vbivis, ut ab Elisæo olim missi, discurrunt, terunt, persequūtur vestigia, sed incassum omnia. Tandem illud Christi ad Petrum recolentes (*Si manere velim, quoad rediero, quid hoc ad te?*) non parum facti sunt placidiores. Postquam ita ad amœnissimam paradisi regionem cum Enocho & Eliâ convicturus, transsumptus est Apostolus, à fletu destiterunt Ephesij, Deiq; laudes celsissimi, qui tanto amasium suum honore affecerat, cecinerunt. Quo hæc a-

ωρα, τὴν τῶν ἀστέρων μιμουμένη φαιδρότητα. Καὶ τὶς ἐν τῷ ἱερῷ τούτῳ τόπῳ, ἐφ' ὃν οὗτος μετὰ τοῦ τρίβωνος κατεκλίθη, πηγάζει λεπτὴ κόνις, καὶ ἀναδίδοται, θεραπείαν τῷ προσιόντι παντὶ, παντὸς ἐπαρκοῦσα πάθους. Ἐν τοίνυν τῇ παννύχῳ τῆς ἐκείνου ἑορτῆς ὑμνῳδίᾳ, ὑπὸ τῶν ἐν αὐτῇ διακονουμένων, τοῖς ἐπὶ τοῦτο ἀθροιζομένοις πλήθεσι διαδιδομένη, οὐδὲ τὸ βραχὺ ἐλλείπει. Ἀλλ' ὅσῳ πλέον ἀρύονται, τοσούτῳ πλέον πηγάζει, καθάπερ τὶς διηνεκὴς θησαυρὸς, ὁμοῦ τε τοὺς μετέχοντας εὐπορωτέρους ποιῶν, καὶ δαψιλέστερος ἑαυτοῦ μᾶλλον γινόμενος. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

***

pud eos die acta, anniverſaria celebritas ſtellarum inſtar ſplendida Iohanni conſecratur, ex omni genere, ordine, ætate hominum. Et quó ille loco ſanctiſſimo cum lacerna recubuit, etiámnum videre eſt ſcaturientem pulviſculum, virtute tam egregia, ut cuivis accedenti cuiuſvis malaciæ medelam præbeat. Hunc qui in feſtivitate pervigiles hymnos canunt, ſolent in promiſcuam multitudinem eius gratia confluentem, ſpargere. Nec tamen vel tantillum minuitur: ſed quantò exhauriunt magis, tantò ebullit magis, perennis ad modum theſauri, qui dum ſua alios ditat affluentia, ipſe etiam fit in ſe locupletior. Gratia & benignitate Domini noſtri Ieſu Chriſti, cui cum patre, & ſpiritu ſancto, ſit gloria, potentia, adoratio, nunc & in perpetua ſecula.

Amen.

***



ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ἅγιον Ἀπόστολον καὶ Εὐαγγελιστὴν Λουκᾶν.

Εἰ καὶ δικαίου μνήμην μετ' ἐγκωμίων τελεῖσθαι, θεῖός τις ἀνὴρ καὶ σοφὸς τὰ θεῖα νομοθετεῖ, πόσην ἄρα τῷ ἀποστόλῳ Χριστοῦ συνεισενεγκεῖν προσήκει τὴν εὐφημίαν; Τοῦτον γὰρ ἡ δικαιοσύνη τῆς ἀποστολῆς ἄξιον, καὶ τοῦ ἀγαπητὸν ὀφθῆναι τῷ Παύλῳ διαφερόντως πεποίηκεν. Οὐ μὴν ἀλλ' ἐπειδὴ οὗτος ἐν τῷ εὐαγγελίῳ εὗρε τὸν ἔπαινον, μακρὰν χαίρειν τοῖς τῶν ἐγκωμίων φράσαντες νόμοις, ὅσα τῶν ἐκείνου διεξελθεῖν ἀναγκαῖον, ἐν ἱστορίας λόγῳ διαλεξώμεθα. Τίς οὐκ οἶδε τὴν Αντιόχου, ὅπως μὲν θέσεως τε καὶ μεγέθους, ὅπως δὲ ὀρῶν ἔχει, καὶ οἷα τις αὕτη, καὶ ὁπόσην νέμεται γῆν, οἵῳ δὲ ἄρδεται ποταμῷ; Ὀρόντης οὗτος ἐστὶν, ἔνθα καὶ πρῶτον ἄνθρωπος τὴν τοῦ Χριστιανοῦ κλῆσιν πεπλούτηκεν. Ἐξ ἧς ὁ θεῖος Λουκᾶς προελθὼν, καὶ φύσιν μὲν ἔχων οἵαν εὐγενῆ, καὶ φιλότιμον, ὡς ἐστὶ δῆλον ἐξ ὧν, καὶ βίῳ ὁ-

COMMENTATIO IN vitam Sancti Lucæ Apostoli, & Evangelistæ.

SI memoriạ iusti non sine elogio recolenda,(ut divinus quidā vir, & in sacra pagina apprimè doctus censuit) quantam in hunc Christi Apostolū conferre laudem oportebit? Quem & integritas Apostolica verè dignum eminentia,& gratia cum Paulo fecit devinctissimum. Verùm enimverò,quia laudes eius Evangelia cecinerunt, nos longè valere iussis encomiis, quæ de eo scitu necessaria per modum historiæ pertexemus. Antiochia quis non novit ut pulchrè sita, ut magnifica, ut præclaro montium vallo cincta, cuiusmodi in se sit, quantam circumambiat terrā, quali irrigetur flumine? Orontem intelligo, ubi nos primùm homines augustissimo Christianorum nomine cœpimus ditari. Hac de sanctis Lucas oriundus naturam habuit ingenuam, & liberalem, sicuti ex eo manifestum, quòd non vitæ

φάνη σπουδαιότατος ὤν, καὶ λόγον τῷ βίῳ παραχῶν οἰκειότατον. Παντὶ δὲ σχολάσας ἐκ παιδὸς ἤδη παιδείας, τήν τε Σύραν, καὶ Ἰουδαίαν εἰς ἄκρον φωνὴν παιδευθεὶς, καὶ δια δένδρον πρὸς ταῖς πηγαῖς ἀνθήσας ἤδη, καὶ αὐξηθεὶς τῇ κατ' αὐτὰς μελέτῃ τῶν θείων γραφῶν, ὑπερφυῶς ἤσκητο. Ἐφήβου μὲν οὖν ἁπτόμενος, τοῖς τε καθ' Ἑλλάδα, καὶ τὴν Αἴγυπτον ἐφοίτα διδασκαλείοις, καὶ τὴν καλλίστην παρ' Ἕλλησι παιδείαν συνέλεξε. Γραμματικὴν καὶ ποιητικὴν εἰς ἄκρον κατορθωκὼς, ῥητορικῆς δὴ καὶ τὸ εὖ δύνασθαι λέγειν ἥκων εἰς τὸ ἀκρότατον, μηδὲ τῶν φιλοσοφίας πρεσβείων ἑτέρῳ παραχωρῶν. Ἀλλὰ τῇ μὲν λογικῇ πρὸς τὴν ἠθικὴν, τῇ ἠθικῇ δὲ βαθμίδι πρὸς τὴν πρᾶξιν χρώμενος. Οὕτω δὲ πᾶσι τοῖς ἀγαθοῖς περισκείμενος, τέλος τὴν καλλίστην ἅμα καὶ φιλανθρωποτάτην ἰατρικὴν κατορθοῖ, καὶ τοσοῦτον, ὅσον τὰ πολλὰ καὶ ἀπὸ ταύτης χαρακτηρίζεσθαι. Ἐπεὶ δὲ τάχει φύσεως καὶ μεγέθει τέχνην ἅπασαν διῆλθε ῥᾷον ἢ ἀέρα πτηνὸν, ἅλις τε τῆς ἀνθρωπίνης εἶχε παιδείας, πρὸς τὴν ὑψηλοτέραν ἕξιν καὶ ἀμείνω μεταχωρεῖ. Τίς δὲ ὁ τρό-

conversatione optimus videretur modò, sed talem se iuxtà præbuerit. Et quidem à puero unicuilibet disciplinæ incumbens, Syram inter cæteras linguam, & Hebræam exactè adeò percalluit, ut non secùs atq; arbor fontium succo nutrita indiès succrescit indiès, ita scripturis ille in utraque lingua collatis insigniter proficeret. Studiis autem cum ætate pariter adolescentibus, Græciæ adivit, adivit Ægypti gymnasia, pulcherrimâq; è Græcanicis decerpsit scientiam. Nam & in Grammatica, & Poesi, & Rhetorica, terséq; dicendi facultate absolutissimus, ne philosophiæ quidem honore cessit alteri, sed Logicæ ad Ethicam, Ethicæ ad praxin beneficio promovebat. Ita bonis disciplinis indulgens omnibus, tandem medicinæ artem honestissimam illam, & benignissimam aggressus, tanta dexteritate imbibit, exercuit, ut medici plurimùm titulo insigniatur. Postquàm verò facultatem omnem citiùs

τος τῆς μεταθέσεως; Εἶχε μὲν ἄρτι τὰς ἐπὶ σωτηρίᾳ τοῦ κόσμου διατριβὰς, ὁ ἁμαρτίας ἐλεύθερος, καὶ καλέσαι ἁμαρτωλοὺς ἐλθὼν εἰς μετάνοιαν, καὶ ταῦτα μετὰ τὴν κατὰ τοῦ ἀντικειμένου πάλην, καὶ τὰ κατ᾽ αὐτοῦ τρόπαια, τήν τε τοῦ πατρὸς ἄνωθεν μαρτυρίαν, καὶ τὴν ἐπιδημίαν τοῦ πνεύματος. Διήει δὲ ἀνὰ πᾶσαν Ιουδαίαν φημὶ, καὶ Γαλιλαίαν. Καὶ τοῦ καὶ τοῖς ὑπερορίοις τὰ τοῦ εὐαγγελικοῦ κηρύγματος εἵπετο. Ενθα πολλοὶ μὲν πρὸς τὴν ἀληθινὴν ταύτην διδασκαλίαν, τά τε τῆς καρδίας ἔβυον ὦτα, καὶ τὰ τῆς διανοίας ἔμυον ὄμματα, ὅσοι μηδὲ ζωῆς δέξασθαι λόγον, μηδὲ φῶς τὸ ἀληθινὸν ἐτύγχανον ἄξιοι. Οἷς δὲ ἴχνος ἐνετετύπωτο ἀληθείας, καὶ γῆς ἀγαθῆς λόγον ἐπεῖχον, ἤτοι καὶ ὅλῳ ἑώρων τῷ ὀφθαλμῷ, καὶ ἔσωτα ὑπεῖχον τὰ τῆς ψυχῆς ὦτα πρὸς τὴν ἀκρόασιν, τάχιστα τε πρὸς τὴν ἀλήθειαν μετετίθεντο, καὶ οὐδὲν ὃ πρᾶξαι παρὸν, καταλίμπανον, ὅπως ἂν ἐγγὺς τοῦ τοιοῦδε καλοῦ γένοιντο, καὶ αὐτῇ γυμνῇ τῇ ψυχῇ τὴν πληροφο-

quàm ambientem ales perlustrasset, satisque iam habuisset humanæ eruditionis, ad celsiorem multò, & meliorem habitum transvolavit. At quæ demum ratio conversionis? Sub idem tempus, ob mundi salutem in mundo egit, à peccato immunis ille, qui ad pœnitentiam peccatores vocatum venit, Iesus Christus. Cui hoc præcipuæ curæ post luctam cum diabolo initam, erecta trophæa, vocis paternæ desuper emissionem, & sacrosancti spiritus accessionem. Tunc enim universa Iudæa, & Galilæa peragrata, etiam extra limites, Evangelii sonum propagavit. Nec tamen lubentes omnes amplexabantur. Sed qui non pauci verbo vitæ, veraq; luce indigni, aures cordium, aciemq; mentium occlusere, ne doctrinam hanc errare nesciã admitterent. Quibus autem perinde infixa veritatis vestigia, ac fœcundæ terræ mandata semina, illi plena acie, arrectisque auribus, intuentes, audientes,

ρίαν εισδέξαιντο. Τέτων εἷς ἦν καὶ ὁ θαυμαςὸς τῆς ἀληθείας ὑπὲρ κήρυξ τε καὶ διδάσκαλος, ὃς πρὸς τὸ εὐσεβὲς κήρυγμα, τὸ ὄμμα τῆς διανοίας καταυγασθεὶς, ὑπερορᾷ μὲν συγγενείας ἁπάσης, ὑπερορᾷ δὲ καὶ σπλάγχνων τῶν φυσικῶν, ἀποτίθεται χρήματα, κλήματα, πᾶσαν ὀσίαν ὡς ποδῶν κόνιν, καὶ χειρῶν ῥύπον, ὀδεὶς ὅτω ῥαδίως μηδὲ αὐτῷ ἢ τέτῳ τὸ νεῖμαι τὸν πλῦτον τοῖς ἐνδέεσιν ὑπὸ τῆ τάχυς ἀκολουθεῖς, καὶ συνελόντα φάναι, τῶν κάτω πάντων ὑπεριδὼν, τῶν ἄνω περιέχεται. Καὶ τῇ μὲν Ιεδαίᾳ ἐπιδημεῖ, τῷ ποθεμένῳ δὲ προσφοιτᾷ, καὶ εἰς ὄψιν αὐτίκα καὶ λόγες αὐτίκα τῷ Ιησῦ γίνεται τὸ περικαλλὲς δοχεῖον τῷ πολυτίμῳ τῆς χάριτος μύρῳ. Ου μίω ὀδὲ συχνῶν ἐδεήθη λόγων, καὶ θαυμάτων, πρὸς τίω ἐκείνε ἐπίγνωσιν. Αλλ' ὅσῳ παιδείᾳ καὶ συνέσει, καὶ ψυχῆς εὐθύτητι τῶν ἄλλων ἐκράτει, τοσύτῳ τε θᾶττον αὐτίω τε καθαρῶς τίω ἀλήθειαν, καὶ τὸν κηρυττόμενον λόγον ἐπιγινώσκει. Εντεῦθεν γνήσιος Χριςῦ γίνεται μαθητὴς, τὰ

citissimè veritatem capessere, nihilque non commisere, ut tanto bono propiores fierent, & tam fœlicem explicatis animarum ulnis fidentiam exciperent. Horum è numero fuit egregius iste veri præco & informator, qui pia mentem prædicatione illuminatus, affinitatem omnem parvi habuit, parvi nativa viscera, pecunias, possessiones, universam substantiã non secus atq; pedum pulverem, & manuum detersit illuviem qua celeritate ne pauperibus quidẽ elargiri poterat: verboque ut omnia complectar, spretis infimis, superna illico rapuit & cœlestia. Hinc in Iudæam movens, quem deperierat, offendit Iesum. Cuius & visu statim potitur, & congressu honoratissimi gratiæ unguenti pulcherrimum receptaculum. Nec ita multis ad cognoscendum opus habuit vel verbis, vel miraculis. Sed qua erat præ aliis educatione, sagacitate, & animæ rectitudine, ipsum om-

πολλά τε τῷ διδασκάλῳ συνῶν, καὶ τοῖς τέρασιν αὐτοῦ, καὶ σημείοις παρηκολουθηκὼς, οὐδὲ τῶν σωτηρίων αὐτοῦ ἀπολιμπάνεται παθημάτων. Ἀλλ' ὥσπερ πᾶσι παρῆν, οὕτω δὴ καὶ τῆς ἀναστάσεως θεωρὸς ἦν. Πορευομένῳ γὰρ μετὰ Κλεόπα, ἐξ Ἱερουσαλὴμ εἰς τὸν ἀγρὸν Ἐμμαοῦς, ὁ κύριος μετὰ τὴν ἀνάστασιν ἐπιστὰς, (ὢ τῆς φρικτῆς ἐκείνης ἐπιστασίας) τότε βραδὺ, καὶ δυσπιστον τῆς καρδίας αὐτῶν ὀνειδίζει, καὶ ταῖς διαλέξεσι τῶν γραφῶν, τὸ πάθος, καὶ τὸ μέγα τῆς ἀναστάσεως μυστήριον βεβαιοῖ. Πλὴν ἀλλὰ τῆς θείας ὁμιλίας ταύτης τί τὸ γεώργιον; Πῦρ ἤδη θεῖον ταῖς τούτων ἀναλάμπει ψυχαῖς, καὶ τῆς ἡμέρας ἄρτι κλινάσης, μεῖναι σὺν αὐτοῖς τὸν δεσπότην παρεβιάσαντο. Ὁ δὲ πλείονα τὴν θεογνωσίαν αὐτοῖς ἐνθεῖναι βουλόμενος, οὐ συνέσει μόνον ἁπλῶς, ἀλλὰ καὶ τῇ τραπέζῃ συγκατακλίνεται. Τῇ τε τοῦ ἄρτου κλάσει οὗτος ἐκεῖνος ὁ τριήμερος εἶναι νεκρὸς ἀκριβέστερον γνωρισθεὶς, τέλος ᾤχετο λαθὼν αὐτῶν πᾶσαν αἴσθησιν; βεβαιοτέραν οὕτως αὐτοῖς τὴν ἐκ

nino verum citiùs, & verbum agnovit prædicatum. Exinde germanus Christi factus est discipulus, & cum eo simul victitavit, miraculorum comes usq;adeò familiaris, ut ne salutarem quidem passionem celaretur. Verùm sicuti gestis sigillatim omnibus, ita & resurrectioni oculatus testis interfuit. Huic enim & Cleopæ ex Ierósolyma versus Emmauntis agrum euntibus, occurrens post resurrectionem Dominus (ô metuendum illum ac formidabilem occursum) lenta,& non bene credula obiectat corda, locisq; insuper adhibitis scripturarum,tum passionis, tum resurrectionis firmat mysteriũ. Istius autem tam divini colloquii quis tandem fructus? quis provẽtus? Sacer in ipsorum mentibus accensus est ignis,perinde efficax, ut Dominum apud se divertere cogerent. Ille verò quò splendidiorem sui adhuc cæcutientibus lucem instillaret,non affuit tantùm, sed & ad mensam

τῶν νεκρῶν ἀνάστασιν ἐργασάμενος. Ἐντεῦθεν καὶ τῆς τοῦ σωτῆρος πρὸς οὐρανὸν ἀναλήψεως, καὶ τῆς τοῦ παναγίου πνεύματος ἐκεῖθεν ἐπιφοιτήσεως, οὗτος τοῖς δώδεκα κεκοινωνηκὼς, τῆς αὐτῆς τε πληρωθεὶς χάριτος, καὶ δυνάμεως, τῶν ἐθνῶν διδάσκαλος ἀναδείκνυται, θεολογῶν τὸ τῆς οἰκονομίας μυστήριον, καὶ πολλοὺς εἰς ἐπίγνωσιν τοῦ πεποιηκότος ἐκ τῆς ἀπάτης χειραγωγῶν, καὶ τελειῶν τῷ βαπτίσματι. Ἔτρεχε μὲν γὰρ ὁ θεῖος οὗτος Λουκᾶς πανταχοῦ καταπείρων τὸ κήρυγμα, καὶ τῇ τῶν λόγων σαγήνῃ τοὺς πλείους ἐκ τῆς τοῦ βυθοῦ ἀγνωσίας προσάγων Θεῷ, κακοπαθῶν ὑπὲρ τοῦ Εὐαγγελίου, τοῖς πονηροτάτοις Ἑλλήνων εἰς λόγους χωρῶν, πολλὰ τὰ δυσχερῆ ὑφιστάμενος κατὰ γῆν, κατὰ θάλατταν, κατὰ πόλεις. Ἔρημος αὐτῷ φίλον ἔδαφος ὠνομάζετο, μόνον εἴτινα ἐν αὐτῇ Θεῷ προσαγαγεῖν εὕροι, καὶ μεταθεῖναι πρὸς τὴν εὐσέβειαν. Ἐπεὶ δὲ καὶ Παῦλος τῶν οὐρανίων ἐπιβήσεσθαι μέλλων, κατοπτεῦσαι τε καὶ κηρύξαι τρανῶς τὴν ἀλήθειαν, τὸ τῆς ἀπάτης σκότος

convivæ inſtar accubuit. Cumq́; in fractione panis eundem ſe per tres dies mortuum exploratiùs ſciendum dediſſet, egregia hac reſurrectioni fide facta, latenter diſparuit. Nec ita multò pòſt ſalvatorem in cœlum aſcendentem, & ſpiritum deſuper afflantem, unà ipſe cum duodecim intuens, accipiens, eadem repletus eſt & gratia, & potentia, gentiumq́ue magiſter deſignatus. Quas erga cûm fideliſsimè, tûm diligentiſsimè habuit. Non enim arcanum diſpenſationis aperuit modò, ſed & non paucos ex impoſtura ad conditoris notitiam manu quaſi ducens baptiſmo conſecravit. Siquidem ubìvis terrarum Divus Lucas ſaturus Evangelium, pluresq́; ex ignorantiæ gurgite expeditos doctrinæ ſuæ naſſa numini libaturus diſcùrrit: nuſquam nunquam remiſſa cura, etiamſi ob Evangelium malè mulctaretur, cum ſceleſtiſsimis Græcorum verbo pugnaret, multaq́;

ἀποβαλὼν τῇ εὐσεβείᾳ συνέθετο, καὶ τῷ χορῷ συνηριθμεῖτο τῶν μαθητῶν, συνοδοιπόρος αὐτῷ Λουκᾶς καθίσταται πανταχοῦ, καὶ συνέκδημος, ἀγώνων τῶν ὑπὲρ εὐσεβείας ἐρῶν, καὶ διὰ τοῦτο τηλικῷδε συντάξας ἑαυτὸν στρατιώτῃ, μεχρί τε δεσμῶν, ὡς κακοῦργος συγκακοπαθῶν αὐτῷ, καὶ τοὺς τῆς θεογνωσίας ἀκτῖνας εἰς τὰ πέρατα συνεκπέμπων: οὕτω συναρμοσθεὶς καὶ οἰκειωθεὶς καὶ κατὰ πάντα κεχαρισμένος αὐτῷ γενόμενος, ὥστε τὸν Παῦλον ἐπιστέλλοντα τοῖς πιστοῖς, ἀγαπητὸν πολλαχοῦ τὸν Λουκᾶν ὀνομάζειν. Ος ἀπό τε Ιερουσαλὴμ καὶ κύκλῳ μεχρὶ τοῦ Ιλλυρικοῦ τὸ εὐαγγέλιον σὺν τούτῳ πληρῶν, ἀπό τε Ιουδαίας ἄχρι Ρώμης αὐτῷ συνδεσμούμενος, τῶν αὐτῶν κόπων, τῶν αὐτῶν θλίψεων, τῶν αὐτῶν κεκοινώνηκε ναυαγίων, συμμέτοχος ἀναφανῆναι πάντως καὶ τῶν ἐπὶ τοιούτοις πόνοις στεφάνων βουλόμενος. Ουτω τοιγαροῦν πολυτελῶς σὺν τῷ Παύλῳ τὸ τοῦ κηρύγματος ἐμπορευσάμενος τάλαντον, καὶ τοσαῦτα περιαγαγὼν, καὶ σαγηνεύσας ἔθνη τῇ εὐσεβείᾳ τῆς ὅλης τοῦ δεσπότου οἰκονομίας, ὃ καὶ φιλῶν τῷ ὄντι, καὶ

etiam in terra, mari, civitatibus passim pericula sustineret. Eremum soli per quidem grati loco habuit, tantùm si quem in ea Deo conciliare, & ad pietatem traducere potuisset. Cæterùm ubi Paulus iam cœlestia transcensurus, & tûm visurus, tûm docturus etiam luculenter veritatem, deposita erroris caligine, in pium cultum, choro Apostolico annumeratus, concessisset, Lucas se ei comitem ubique præbuit iunctissimum, ut qui certamina pietatis nomine suscepta impendiò amaret. Eapropter tanto se associans militi, simul usque ad vincula malefici in modum laboravit, divinæq; notitiæ radios ad mundi etiam ultima diffudit: ita per omnia intimus, gratiosus Paulo, ut in epistolis ad fideles transmissis dilectum suum sæpenumerò Lucam vocitârit. Et quidē iustissimè. Nam præterquàm quòd à Ierosolyma in orbem, Illyricum usq; Evangelium unà ferret, & à Iudæa Romam usq; vinciretur unà, easdem etiam afflicti-

φιλούμενος μαθητὴς, ἱερογράφος ὁμοῦ καὶ Εὐαγγελιστὴς δείκνυται, ἅτε καὶ πρότερον παρηκολουθηκὼς, καὶ παρὰ τῶν ἀπαρχῆς ὑπηρετῶν ταῦτα γνωρισθεὶς, καὶ μυσταγωγηθεὶς ἄνωθεν. Τὸ γὰρ τοῦ νυμφοστόλου Γαβριὴλ πρὸς τὴν παρθένον περὶ μυστήριον ἀνετάξατο ὁ Εὐαγγελιστὴς τοῦ κοινοῦ εὐαγγελισαμένου τῷ κόσμῳ χαράν. Οὗτος καὶ τὴν Χριστοῦ γένεσιν ἐναργῶς διεχάραξεν, ὥσπερ ἄρτι κείμενον τῇ φάτνῃ παραδεικνὺς, καὶ σπάργανα, καὶ ποιμένας, καὶ τοὺς τῆς χαρᾶς κήρυκας ἀγγέλους συνεπιγράφων. Οὗτος τὰς πάντα νοῦν ὑπερβαλλομένας παραδοξοποιΐας φιλαλήθως τε ὁμοῦ καὶ φιλοκάλως ἐδήλωσε, πραγμάτων ἀληθείᾳ λόγων εὐγένειαν συγκεράσας, ἵνα καὶ γλώττης ἅμα καὶ γνώμης ἀρετὴν παραστήσῃ. Ἐν παραβολαῖς τε διδασκαλίας σωτηριώδεις, κἀν τούτῳ τῶν ἄλλων πλεονεκτῶν, ἐξυφήνατο, καὶ συνελόντα φάναι, καθάπερ τὴν ἐπὶ γῆς κάθοδον τοῦ λόγου τρανῶς ἐγνώρισεν, οὕτω καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ πρὸς τὸν πατρῷον θρόνον ἐπάνοδον, οἷα τις ἐξ οὐρανοῦ ἥκων,

ones, miserias, naufragia perpessus est unà, eiusdem ut se coronæ consortem futurum ostentaret. Vbi igitur cum Paulo talentum prædicationis magnificè adeò elocâsset suum, totidemq; gentes ad totius Christi œconomiæ fidem pellexisset verè alios amans, iuxtaq; adamatus discipulus, sacri authentici cæpit scriptorem agere, & Evangelistam. Quod ipsum munus, suâ partim ipsius aliquamdiu sequentis opera, partim eorum qui ante se. relatione informatus, auspicabatur. Hic enim paranymphi Gabrielis ad Virginē missi, communisq; mundo lætitiæ nuntii mysterium concinnavit. Hic ortum Christi quasi iam recens cubantis in præsepi, & fascias, & pastores, & gaudii præcones angelos ad vivum expressit. Hic mira omnem omnino intellectum superantia, studiosè adeò & politè digessit, rerum veritatem eleganti oratione sparsim nobilitans, ut utriusq; in eo & mentis & linguæ virtus visenda

διεσάφησεν. Ο δὲ τῶν ἄλλων ἐστὶ χαριέστατον, ὅτι καὶ αὐτὸν τὸν τοῦ προσλήμματος τοῦ ἐμοῦ Χριστοῦ τύπον, τόν τε τῆς αὐτὸν τεκούσης, καὶ δούσης τὸ πρόσλημμα, χαρακτῆρα, πρῶτος οὗτος κηρῷ, καὶ χρώμασι βάψας, ἐν εἰκόνι τιμᾶσθαι μέχρι καὶ νῦν παραδέδωκεν, ὥσπερ οὐκ ἀρκοῦν εἶναι νομίζων, εἰ μὴ καὶ δι' εἰκόνος, καὶ τύπου ἐντυγχάνοι τοῖς ποθουμένοις, ὅπερ φιλίας θερμοτάτης ἐστὶ τεκμήριον. Ου μόνον δὲ, ἀλλὰ καὶ πιστοῖς πᾶσι, καὶ φιλοχρίστοις τὰ μέγιστα χαριζόμενος. Αλλ' οὐκ ἐν τούτοις μόνοις Λουκᾶς τὴν ἐν αὐτῷ χάριν τοῦ πνεύματος περιέγραψεν, οὐδὲ πρὸς μόνον ἐκεῖνος τὸ εὐαγγέλιον ὑπουργὸν ἔσχε τὴν γλῶτταν, ἀλλὰ πρὸς τῷ τέλει τῶν τοῦ Χριστοῦ θαυμάτων, καὶ τὰς τῶν Αποστόλων ἐκτίθεται πράξεις. Καὶ πρῶτα γε τὴν θείαν πρὸς οὐρανὸν τοῦ σωτῆρος ἀνάληψιν, εἶτα ἐπ' αὐτὴν ἐν πυρίναις γλώσσαις τοῦ πνεύματος κάθοδον, εἶθ' οὕτως τὴν τοῦ Στεφάνου κατάλευσιν, τὴν τοῦ Παύλου μεταβολὴν, τὴν ἐξ οὐρανῶν (φημὶ) διὰ Χριστοῦ κλῆσιν, καὶ τὴν ἀπὸ τοῦ γράμματος εἰς τὸ πνεῦμα μετάθεσιν. Τὰ κατὰ τόπον

exhibeatur. Hic in parabolis salutarem supra alios doctrinâ contexuit; paucisque ut expediam singula, verbi in terras descensum, in cœlos ascēsum, necnon paternæ sedis repetitam maiestatem, quasi coelo datus, adumbravit. Quod autem præ aliis longè venustissimum, assumptę Christi mei naturæ, & virginis, unde assumpsit, effigiem, primus iste omnium ceræ inditam, tinctamq; coloribus, in imagine ad nostra etiam tempora adorandam exhibuit: satis non fuisse sibi arbitratus (quod & ferventissimi amoris indicium) nisi deliciarum suarum consuetudine, vel in umbrâ saltem, potiretur. Maximum herclè cùm sibi, tùm fidelibus & philochristis in universum gratificatus. Nec vero istic spiritualem Lucæ gratiam est definire, ut qui non ad concinnandum modò Evangelium, inservientis lingue sit usus beneficio; sed & post fusè exposita Christi miracula, res etiam gestas Apostolorum retulerit. Et primò quidem sal-

τούτου τὰ δεσμὰ, τὰς φυλακὰς, τὰς πληγὰς, τοὺς ῥαβδισμοὺς, τὰς τῶν ἐθνῶν πολυτρόπους ἐπιβουλὰς, τὴν ἐξ Ἱεροσολύμων ἐπὶ τὴν Ῥώμην ἄφιξιν, τοὺς κατὰ θάλατταν πόνους, τὰς θλίψεις, τοὺς κινδύνους, τὰς συμφορὰς, τὰ ναυάγια. Ὧν οὐ θεατὴς μόνον, ἀλλὰ καὶ κοινωνὸς ἦν, καὶ διὰ τοῦτο καὶ ἀκριβὴς πάντων ἐξηγητὴς. Ἀλλὰ Παῦλον μὲν ἐν Ῥώμῃ καταλιπὼν, πρὸς ἕω πάλιν οὗτος. Ὅλην τε Λιβύην διαδραμὼν, τοῖς ἐπ' Αἰγύπτου ἐπιδημεῖ. Καὶ τὴν ἄνω Θηβαΐδα τῆς αὐτοῦ διδασκαλίας εἴσω λαβὼν, τῷ διδασκάλῳ τε διὰ τοῦ Εὐαγγελίου προσαγαγὼν, τῇ κάτω Θηβαΐδι τῷ ἐπιστασίῳ ἐφίσταται. Ἐφ' ᾗ καὶ ἀρχιερεὺς ὑπὸ τοῦ πνεύματος, καὶ ποιμὴν προχειρίζεται. Ἱδρύματα δὲ, καὶ τεμένη μιαρὰ δαιμόνων εἰς ἔδαφος κατασείσας (τοσαύτη γὰρ ἡ σπουδὴ τῷ ἀνδρὶ ἀπάτην ὅλῳ ποδὶ φεύγουσαν ἀποδεῖξαι) ἱεροὺς τῷ μόνῳ Θεῷ ναοὺς ἀντανίστησι. Καὶ τοὺς ὑπὸ βαθεῖ σκότῳ τῆς ἀγνοίας κατεχομένους, διὰ τοῦ εὐαγγελίου, πρὸς θεογνωσίαν ἀναγεννήσας, υἱοὺς ἡμέρας γενέσθαι παρα-

vatoris in cœlum subductionem, dein spiritus in igneo linguarum choro descensum, dein Stephani lapidationem, Pauli conversionem, illam (inquam) qua desuper à Christo compellatus renuntiavit literæ, transiit ad spiritum. Huius etiam per loca singula, carceres, custodias, plagas, verbera, multiplices gentium intentatas insidias, coactam ex Ierosolyma Romam versus profectionem, in mari miserias, afflictiones, pericula, calamitates, naufragia. Quorum non ille solùm spectator fuit, sed unà particeps, ideoq; omnium optimus interpres. Tandem relicto Romæ Apostolo, ad Orientem denuò accingitur, Lybiaq; universa peragrata in AEgyptum transmisit. Qua in, cum superiorem Thebaidem Evangelica doctrina complexus magistro ascivisset, inferiorem illam septiportensem petiit Thebaidem. Cuius à spiritu, & pontifex, & pastor est designatus. Ibi statuis, lucisque dæmonum

σκευάζει. Τοιύτυς τοιγαρῦν τῷ διδασκάλῳ προσενεγκὼν τοὺ καρποὺς, ἐκ μέσου τε θέμενος τὴν ἀσέβειαν, ναοὺς ἀνεγείρας, θυσιαστήρια πηξάμενος, καὶ ταῦτα καθιερώσας, καὶ ὑπὸ τῶν πιστευσάντων πρεσβυτέρους, καὶ διακόνους ἐν τούτοις χειροτονήσας, τὸν τῆς ὀρθῆς πίστεως ὅρον αὐτοῖς παραδοὺς, καὶ νῦν μὲν ἀπὸ τῆς παλαιᾶς παράγων γραφῆς, νῦν δὲ ἀφ᾽ ὅπερ οὗτος ἀνετάξατο εὐαγγελίου διερμηνεύων αὐτοῖς τὰ περὶ Χριστοῦ, καὶ δεικνὺς τὴν παλαιὰν τῇ νέᾳ μάλα συμβαίνουσαν, καὶ Θεὸν ἕνα, καὶ τὸν αὐτὸν, αὐτήν τε, κἀκείνην νομοθετήσαντα, πλήρης ἡμερῶν ἤδη γενόμενος, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεὸν, τὸν χοῦν μὲν ἀπολιπὼν τῷ χοΐ, τὴν ψυχὴν δὲ ταῖς χερσὶ τοῦ δεδωκότος ἐμπαραθέμενος: ἐκεῖ μεταφοιτήσας, ἔνθα ἡ τῶν ζώντων χώρα, ἔνθα ἦχος ἑορταζόντων, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία. Τοιαῦτα τῶν ὑπὲρ εὐσεβείας ἄθλων τοῦ Αποστόλου διηγήματα, καὶ τοῦτο τέλος αὐτοῦ τῶν ὑπὲρ Χριστοῦ καμάτων. Ὧν καὶ νῦν ἐν ἀγαλ-

impuris æquatis solo (erat enim homini errorem toto conatu fugare studium intensissimum) sacratas unico Deo ædes erexit. Qui autem profundis paulò antè inscitiæ tenebris involuti, hos divina per Evangelium notitia imbutos, regenitos, in filiorum Dei albumfecit referri. Tales demum fructus suo ubi repræsentâsset magistro, pulsa impietate, erectis templis, fixis aris, etiam consecratis, & tum presbyteris, tum diaconis ex fidelium cohorte, iis qui pręessent, constitutis, orthodoxæ fidei rationem illibatam tradidit. Nec satis ei hoc visum, nisi nunc è veteri, nunc è suiipsius codice, Christi singula aperiens, & veteris cum novo instrumento consensum pulcherrimum, & utriusq; ab uno Deo manantem simul veritatem ostenderet. Post tot tàm piè gesta, satur dierum in pace ad pacis Deum rędiit, humo in humũ, anima autem in manus eius, quod donavit, numinis trãsmissa, Eoq; migravit loci, ubi vivē-

λιάσει θεξίζει τὰ πράγματα, ὡς μετὰ Παύλου δύναϑαι λέγειν: τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, ἐφ' οἷς τὸν τῆς δικαιοσύνης στέφανον ἀποκείμενον. Πλὴν ἀλλ' ἀκόλουθον οἶμαι τούτοις ἐπιμνησθῆναι, καὶ ὅθεν δὴ, καὶ ὅπως, καὶ ἐφ' ὅτῳ ἄρα τῶν χρόνων, ἱερὸν αὐτοῦ λείψανον ἐξ Ἀχαΐας ἀνακομισθὲν, ὥς τι θεῖον θησαύρισμα, τῇ λαμπρᾷ, καὶ βασιλίδι τῶν πόλεων ἀποδίδοται. Διήει ἀπὸ τοῦ Σιρμίου ποτὲ πρὸς τὸν Ἴστρον Κωνστάντιος ὁ Κωνσταντίνου τοῦ μεγάλου παῖς, τρίτος δὲ καθ' ἡλικίαν τῶν ἀδελφῶν. Καὶ πρὸς αὐτῇ τῇ ὄχθῃ τοῦ Ἴστρου χρόνον οὐ βραχὺν στρατοπεδευσάμενος, ἤκουσε τοὺς πέραν τοῦ Ἴστρου Σαρβάρους μέλλειν ἐπιστρατεύειν τῇ Ῥωμαίων ἀρχῇ. Καὶ ὁ μὲν ὑποπτήξας μή τι κακὸν ἐν τῇ αὐτοῦ δράσωσι, πρὸς τὴν Θράκην εὐθὺς, καὶ τὸ Βυζάντιον ἤλαυνεν. Ἐν Ὀδρυσῷ δὲ χωρίῳ καταλαβόντι, ἔνθα πόλιν Ἀδριανὸς ὁ Ῥωμαίων βασιλεὺς ἀναστήσας, τὴν ἑαυτοῦ προσηγορίαν τῷ τόπῳ δέδωκε, πρόσεισί τις τῶν ἐπισκό-

tium regio, ferientium sonis, gaudentium omnium sedes. Huiusmodi ferè sunt Apostoli pietatis nomine suscepta certamina, huiusmodi pro Christo finis laborum. Quorum iam modò lætabundus coacervans manipulos, Paulinum de se illud iustissimè prædicet, *bonum certamen certavi, cursum consummavi fidem servavi quæpropter est mihi corona iustitiæ reposita*. Atqui verò his proximum memoratu dignissimum opinor, ut unde, quomodo, & quo demum tempore Lucæ ex Achaia, divini instar thesauri, traductæ reliquiæ, & in splendidissima, principeq; urbium conditæ fuerint, referamus. A Sirmio quondam Constantius Constantini Magni filius natu maximus, Danubium usq; lustravit omnia. Cuius ad ripam aliquamdiu castrametatus, audivit ulteriores Barbaros Romanũ imperiũ hostiliter invasuros, Et submetuẽs, ne quid in sua ditione patrarẽt mali, Thraciã continuò, & Byzantium fertur incitatiùs.

πων ἦ, ὡς τι κομίζων δῶρον αὐτῷ χαριέστατον, τῶν τοῦ Χριστοῦ μαθητῶν, Ἀνδρέου, καὶ Λουκᾶ, ἐν Ἀχαΐᾳ τεθάφθαι μηνύων τὰ σώματα. Ὁ δὲ ἥσθη τε τῇ ἀγγελίᾳ, καὶ Ἀρτέμιον, ᾧ μάλα ἐχρῆτο, καὶ ὃν τῆς πρὸς Χριστὸν ἀγάπης ᾔδει διάπυρον ἐραστὴν, (μαρτυρεῖ τὸν ἔνθεον τούτου ἔρωτα τῷ ἀνδρὶ, ὁ ἐπὶ καιρῶν Ἰουλιανοῦ διὰ Χριστὸν ἆθλος, καὶ κίνδυνος) τοῦτον γοῦν τὸν οὕτω θερμὸν ὑπὲρ εὐσεβείας πνέοντα φίλον Ἀρτέμιον πρὸς τὴν τῶν σεπτῶν ἀνακομιδὴν σωμάτων αὐτίκα ἐκπέμπει. Καὶ γὰρ δὴ καὶ οὗτος ἦν Κωνστάντιος τά τε ἄλλα μέτριος, τὸν τε τρόπον ἐπιεικὴς, καὶ πολλῷ γε κομιδῇ τῷ περὶ τὴν τῶν Ἐκκλησιῶν οἰκοδομὴν ἔρωτι κάτοχος. Ἐντεῦθεν καὶ πρὸς τῇ τοῦ πατρὸς αὐτοῦ πόλει, περὶ τὸν ἐκείνου τάφον, οἷα γέρας ἀποδιδοὺς τῷ πατρὶ, ναὸν ἐξ αὐτῶν κρηπίδων οἰκοδομεῖ μέγιστον. Οὗ δὴ καὶ Ἀρτεμίου τὰ τῶν ἱερῶν Ἀποστόλων ἐξ Ἀχαΐας ἀνακομίσαντος λείψανα, ἐν αὐτῷ τῷ θείῳ θυσιαστηρίῳ τῆς ἱερᾶς τραπέζης κατέθετο: Ἀνδρέου μὲν, ἐκ τῆς Πατρέων πόλεως, Λουκᾶ δὲ, ἐκ Θηβῶν

Hęrentiq; adhuc in Odrysarum regione, ubi Adrianus olim Romanorum imperator civitatem suo nomine extructam donavit, ex episcopis quidam gratissimi vice muneris, nunciat discipulorum Christi, Andreæ, & Lucę, apud Achæos sepulta cadavera. Nuntio gavisus ille, Artemium sibi in intimis amicorum, (Novit enim huius Christum erga amorem ignitum, quem secuti sub Iuliano conflictus verè divinum fecerunt, & testatissimum) Hunc, inquam, zelum adeò in pietate fervidum spirantem Artemium, ad sacra cadavera comportanda illico destinavit. Constantius enim cùm cætera modestus, & mitis fuit ingenio, tùm Ecclesias ædificandi studio totus afflatus videbatur. Quocirca in paterna civitate ad paternum tumulum, quasi defuncto honorarium daturus, ædes ab imis fundamentis struxit amplissimas; nec struxit modò, sed & Artemianas reliquias in mensæ earundem sacræ al-

τῆς Βοιωτίας μετενεχθέντος. Καὶ Τιμόθεον, τὸν ἐν τῷ χορῷ τῶν τοῦ Χριστοῦ μαθητῶν, οἷά τινα διαφανῆ ἀστέρα, πάλαι ἐκλάμψαντα, ἐξ Ἐφέσου ἀναφέρει τῆς Ἰωνίας, ὑπουργῷ καὶ αὖθις πρὸς τοῦτο, τῷ Ἀρτεμίῳ χρησάμενος. Ἀλλ᾽ εἶχε καὶ αὐτὸν ὁ τῆς ἱερᾶς τραπέζης θεῖος περίβολος, καθάπερ τι χρέος τοῖς συνεργάταις αὐτοῦ τῆς εὐσεβείας ἀποδοθέντα. Ἀλλὰ Τιμόθεος μὲν τοιαύτην ἔσχε τὴν ἀνακομιδὴν τοῦ σώματος. Ἐπὶ δὲ τῇ τοῦ θείου Λουκᾶ θαυματουργεῖται τὶ τοιοῦτον, λόγου, καὶ μνήμης ἄξιον. Ἀνατόλιος τὶς εὐνοῦχος εἷς τῶν ἐκ τοῦ βασιλικοῦ κοιτῶνος τηνικαῦτα ὤν, πάθει δεινῷ σώματος κατάσχετος ἦν. Ὡς οὖν μεῖζον ἤδει τὸ πάθος, ἢ κατὰ τὴν τῶν ἰατρῶν τέχνην ἐδόκει, εὖ ἐκεῖνος εἰδὼς, ὅτι παρὰ ἀνθρώποις ἀδύνατα, τῷ Θεῷ δυνατὰ, τῶν ἄλλων ἀφέμενος πάντων, ἐπὶ τὸν τοῦ Χριστοῦ μαθητὴν Λουκᾶν καταφεύγει, καὶ τούτῳ βοηθῷ χρῆται κατὰ τῆς νόσου. Τῆς γὰρ σοροῦ, ἡ τὸν τίμιον αὐτοῦ συνεῖχε νεκρὸν, ἐπὶ τὸν ἅγιον ἤδη κομιζομένης ναὸν, ὃν ἐκ βάθρων αὐτῶν Κωνστάντιος ἤ-

tari ſacro locavit. Quarum illæ Andreæ è civitate Patrenſium, iſtæ autem Lucæ è Thebis Bœoticis tranſſumptæ ſunt. Et porrò Timotheum, qui olim Chriſti inter diſcipulos micantis in modum ſtellæ effulſit, ex Epheſo Ioniæ, opera eadem uſus Artemii, tranſferri curavit. Quem & ipſum auguſtæ menſæ divinum ſeptum, alicuius inſtar mutui, ſuis in fide cooperariis habuit appoſitum. Ita magnificè Timothei cadaver exceptum conditumq; . De Lucæ, autem tale quid miraculi non tacendum perhibetur. Anatolius ex eorum ordine ennuchus, qui regiis ea tempeſtate cubiculis prę fu erunt, gravi laboravit morbo. Cuius vim medica ubi facultate comperiſſet inſanabilem, & quæ tamen apud nos mortales impoſsibilia, Deo poſsibilia recogitâſſet, cæteris miſsis omnibus, ad Lucam Chriſti diſcipulum vertitur, huius unius ope morbum profligaturus. Nam cùm in ſacres ædes à Conſtantio pridem

γειρεν, οὗτος ὁ λεχθεὶς Ἀνατόλιος προσελθὼν, καὶ συνδιαβαστάσας τοῖς φέρουσι ταύτην, παραχρῆμα τοῦ πιέζοντος αὐτὸν ἀπολύεται πάθους. Καὶ ὁ ζῶν ἀπὸ τοῦ νεκροῦ τοιαύτης ἀπολαύσας εὐεργεσίας, οὐ διέλιπε παρ' ὅλην αὐτοῦ τὴν ζωὴν, τῷ τε Ἀποστόλῳ τὴν χάριν ὁμολογεῖν, καὶ τῷ δι' αὐτοῦ τοιαῦτα θαυματουργοῦντι Θεῷ. Οὕτω μὲν οὖν ἐκ Θηβῶν ἀνακομισθὲν τὸ πρῶτον τοῦ θειοτάτου σῶμα Λουκᾶ, ἐντιμίως ἄγαν, καὶ μεγαλοπρεπῶς, μετὰ Ἀνδρέου (φημὶ) καὶ Τιμοθέου, τῷ παρὰ Κωνσταντίου οἰκοδομηθέντι ναῷ κατατίθεται. Πολλὰ περὶ τὴν τῶν ἱερῶν λειψάνων κατάθεσιν, πίστεως ἔργα, καὶ πόθου ζέοντος, Κωνσταντίου ἐνδειξαμένου. Εἰ καὶ τοῖς τοῦ πονηροῦ πάγαις οὗτος μικρὸν ὕστερον ἁλοὺς (ὢ πτώματος ὀλεθρίου) τὴν θολερὰν, φεῦ, ἀναδέπλην τῶν Ἀρειανῶν ἐξέπιε δόγματος. Χρόνοις δὲ ἱκανοῖς ὕστερον, ὁ Ἰουστινιανὸς τὰ σκῆπτρα τῆς βασιλείας παραλαβὼν, φιλοτιμότερον ὅσον περὶ τὰ ἱερὰ ταυτὶ τῶν Ἀποστόλων διατίθεται σώματα. Καὶ ἀργυρέῃ θήκῃ ταῦτα περιλαβὼν, παρ' αὐτῷ τῷ θείῳ θυσιαστηρίῳ μάλα θεοφι-

erectas libitina ferebatur, venerandum unà gestamen subiens Anatolius, ipso momento convaluit. Qua defuncti beneficentia vivus sanatus, non desiit exinde per totam vitam, & Apostolo gratias, & Deo, qui tam insigni Apostolum ornavit miraculo, referre. Ad hunc igitur modum sanctissimi Lucæ corpus è Thebis traductum, cum Andreæ, & Timothei illis, quàm honorificè splẽdideq; in Constantii templo repositum est. Multa iam tùm imperatore, in sacris reliquiis asservandis, & fidei non læsæ, & affectus verè æstuantis opera exhibente. Verùm non abhinc diu nassa impii irretitus (ô ruinæ eius exitium) turbidum, heu, & inebriantem Arianici dogmatis liquorem ebibit. Seriùs aliquantò Iustinianum penes erant Romana sceptra, qui usque adeò ad ambitionem hisce Apostolorum indulsit reliquiis, ut argentea theca inclusas, venerandas iuxta verandum piissimè locaret. Cui eidem

λῶς κατατίθεται, τὸ τίμιον (φημὶ) ἐν τημίῳ. Καὶ τράπεζαν μετὰ τοῦ ἱεροῦ θυσιαστηρίου ἡ θήκη τελεῖ. Μόνῳ δὲ τῶν Ἀποστόλων ὀνόματι ὁ νεὼς οὗτος προσαγορεύεται. Οὐ δὴ πάντες οἱ πιστοὶ συνιόντες, ἐπαινοῦσι τοῦτον ὡς μαθητὴν, ἀνευφημοῦσιν ὡς Εὐαγγελιστὴν, ὡς ἱερῶν ἱδρώτων τῷ θεσπεσίῳ κοινωνήσαντα Παύλῳ, διὰ παντὸς μακαρίζουσι, καὶ τοῦ ἐκεῖθεν μεταλαμβάνοντες ἁγιασμοῦ, χαρᾶς πληροῦνται πνευματικῆς. Χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

† †
†

altari, loco mensæ theca est. Ædes autem ipsæ, in quibus tot tanti pretii monumenta, de solis Apostolorum vocantur nominibus. Quò fideles omnes confluentes, hunc ut discipulum, ut Evangelistam, ut in sacris illis cum divino Paulo sudoribus parem, nunquam non celebrant, & ascita inde sanctimonia, spirituali gaudio gestiunt, perfunduntur. Gratia, & benignitate Domini nostri Iesu Christi, cui gloria in omne ævum.

Amen.

***